μενοι λόγοις ἐποίουν τοῦτο. κυρία δὲ ἡμέρα λέγεται ἡ ὡρισμένη, καὶ ἐμπρόθεσμος. Εὐριπίδης ἐν Ορέστῃ,
Κυρία δ᾽ ἥδ᾽ ἡμέρα,
Ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις.
Τὸ αὐτὸ καὶ κύριον ἦμαρ καλεῖται. ὁ αὐτὸς ἐν Ἀλκήστιδι.
Καὶ μὴν τόδε δὴ κύριον ἦμαρ.

Σχόλια. Ἡ Πνὺξ αὐτηί.] ἡ ἐκκλησία παρὰ τὴν τῶν λίθων πυκνότητα. ἢ ἀπὸ τοῦ πυκνάζεσθαι τοὺς ἄνδρας ἐν τῇ ἐκκλησίᾳ. ὡς αὐτὸς ἐν Σφηξὶν ἔδοξέ μοι, παραποιῶν τὴν ὥραν ἐν τῇ Πυκνί. Οἱ δ᾽ ἐν ἀγορᾷ λαλοῦσι] διάφορα δηλοῖ λέξις. νῦν μὲν τὴν ἐκκλησίαν. ὅθεν ὁ Νέστωρ ἀγορητής. καὶ τὸν τόπον ἔνθα πιπράσκεται τὰ ὤνια, καὶ αὐτὰ τὰ ὤνια σημαίνει. Τὸ σχοινίον φεύγουσιν.] ὑπὲρ τοῦ ἐξ ἀνάγκης αὐτοὺς εἰς τὰς ἐκκλησίας συνιέναι, τοῦτο ἐμηχανῶντο καὶ πολλὰ ἄλλα. ἀνεπετάννυσαν γὰρ τὰ γέρρα. καὶ ἀπέκλειον τὰς ὁδοὺς, τὰς μὴ φερούσας εἰς τὴν ἐκκλησίαν. καὶ τὰ ὤνια ἀνῄρουν ἐν ταῖς ἀγοραῖς ὅπως μὴ περὶ ταῦτα διατρίβοιεν, ἔτι μὴν καὶ μεμιλτωμένῳ σχοινίῳ περιβάλλοντες αὐτοὺς, συνήλαυνον εἰς τὰς ἐκκλησίας. τοῦτο δὲ ἐποίουν, ὑπὲρ τοῦ μὴ βραδύνειν. ὅσοι γὰρ ἐχρίοντο, ζημίαν ἐξέτινον. ἄλλως. ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθασιν ὑπηρέται δύο μεμιλτωμένον, τουτέστι μιλτῷ ἤτοι βάμματι κοκκίνῳ σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς, διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός. ὅσοι δὲ ἐχρίοντο, ἐξέτινον ζημίαν. Ἀλλ᾽ ἀωρίαν ἥκοντες.] ἀντὶ ἀωρίᾳ καὶ μεθ᾽ ἡμέραν. καὶ ὁ Βισέτος. ὁ δὲ νοῦς, ἀκαίρως καὶ παρὰ τὸν δέοντα καιρόν. ἄωρα γὰρ τὰ παρὰ καιρὸν τυγχάνοντα. Ὠστιοῦνται.] διωθοῦνται.] ἀπὸ ἐνεστῶτος τοῦ ὠστίζω. ὁ δὲ λόγος ὡς πρός τινα ἐπὶ λεγόμενος. ὡς καὶ Ὅμηρος. φαίης κ᾽ ἀκμῆτας καὶ ἀτειρέας καὶ ἔνθεν ἂν ὑβρίζοντα ἰδοις. Ἐλθόντες ἀλλήλοισι περὶ πρώτου.] περὶ τοῦ προεδρείας. ὡς ξυλίνων ὄντων τῶν καθεδρῶν. ὅτι δὲ ἐκ λίθων, πανταχόθεν δῆλον. ὅταν λέγῃ, ἀπὸ τῆς πέτρας καθήμενοι. Ἀθρόοι καταρρέοντες. ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα. καὶ διασύνειν τὴν πρώτην συλλαβὴν ἀττικῶς. καταρρέοντες δὲ, ἀντὶ τοῦ ἀθρόως ἐπερχόμενοι. ἡ μεταφορὰ, ἀπὸ τῶν ποταμίων ῥευμάτων. καὶ Ὅμηρος. τὰ δ᾽ ἐπίρρεεν ἔθνεα πεζῶν. Νοστῶν κάθημαι.] ἁπλῶς ἐπὶ τοῦ ἐρχόμενος καὶ ἐπανερχόμενος. Στένω. κέχηνα.] πάλιν τὸ κέχηνα, ἐν ἴσῳ τῷ προσδέχομαι. ἢ δέομαι τῆς εἰρήνης. ὥσπερ οἱ νεοσσοὶ κεχήνασι δεόμενοι τῆς τροφῆς. τὸ δὲ σκορδινῶμαι, ἀντὶ τοῦ κλῶμαι καὶ σπασμῷ συνέχομαι. οἱ γὰρ ἀπὸ πληθώρας σκορόδων ἐμοῦντες, διὰ τὴν δριμύτητα μᾶλλον σπῶνται. τὸ δὲ ἐμεῖν καὶ τὸ ὀπωροῦν κενοῦσθαι. σκορδινᾶσθαί φασιν ἐπὶ τῶν κινῶν τῶν ἐξ ὕπνου ἀνισταμένων, ὅταν τὰ μέλη καὶ ὅλους αὐτοὺς διατείνωσι. σκορδινᾶσθαι οὖν ἐστι, τὸ ἀνακλᾶσθαι μετὰ χάσμης. γίνεται οὖν ἀπὸ ἀλογίας τὸ τοιοῦτον. Γράφω. παρατίλλομαι.] γράφω μὲν, καταγράφω. ἢ ζωγραφῶ. ἀπὸ τῆς γῆς ξύων τῷ δακτύλῳ. ἤ τινι ξύστῳ παιδιάς τινος. παρατίλλομαι δὲ, τὰς ἐκ τῶν μυκτήρων τίλλω τρίχας. ἢ τῶν μασχαλῶν. ταῦτα δὲ πάντα ποιοῦσιν, οἱ προσδεχόμενοί μέν τι, τὸν δὲ χρόνον δαπανῶντες, εἰς ἀπορίαν καὶ ἀμηχανίαν μὴ τυγχάνοντες τοῦ προσδοκουμένου λογισμοῦ. ὅτε γὰρ αὐτοὶ ἐφ᾽ ἑαυτῶν τίθενται ἀλύοντες, καὶ ἐπὶ γῆς διαγράφουσιν. Ἀποβλέπων εἰς τὸν ἀγρόν.] οἱ γὰρ πολιορκούμενοι καὶ πολεμούμενοι, ἀεὶ ἐπὶ τὸν ἀγρὸν ἀποβλέπουσιν, ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι. Στυγῶν μὲν ἄστυ.] ὁ στίχος ἐκ τραγῳδίας. Ἄνθρακας πρίω.] τοῦτο Ἀχαρνέων ἴδιον τὸ λέγειν πρίασθαι πρίω. ἴσασι ἴσω. ἦν γὰρ ὁ Δικαιόπολις, Ἀχαρνεύς. οὗτοι δὲ πολυανθρακεῖς. καὶ οὐ δεόμενοι παρ᾽ ἄλλων πρίασθαι. Οὐδ᾽ ᾔδει πρίω.] οὐδὲ ἐγίνωσκε τὸ πρίω ῥῆμα. οὐ γὰρ ἐδεῖτο ἀγοράζειν ἔχων οἴκοι.

Bisetus. Χώ πρίων] ὁ πρίων ἤγουν ὁ ἀγοράζων, κατὰ τὸν Ἡσύχιον. ἔστι δὲ μετοχὴ ἀχρήστου ἀντὶ τοῦ πριάμενος, ὡς ἀπὸ τοῦ θέματος πρίω, τουτέστι πρίαμαι, ἀγοράζω. καὶ τοῦτο ἴσως τῶν Ἀχαρνέων ἴδιον.

Σχόλια. Ὑποκρούειν.] ἀντιφθέγγεσθαι. ἀντιλέγειν ἁπλῶς καὶ ὡς ἔτυχε. τὸ δὲ ὑποκρούειν, ἐπὶ τῶν θορυβούντων λέγεται ὅπερ ἡμεῖς φαμὲν, ἐκκρούειν καὶ κωλύειν. τὸ δὲ λοιδορεῖν ἀμφῶ ῥητέον καὶ λοιδορεῖν καὶ λοιδορεῖσθαι. Οὑτοιί.] δεικτικῶς. μεσημβρινοὶ δὲ εἰσορφοῦντες.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ,

Σκηνὴ δευτέρα.

ΚΗΡΥΞ, ΑΜΦΙΘΕΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΠΡΕΣΒΕΙΣ.

Τρίμετροι.

Bisetus. Τῶν βουλευτῶν εἰς τὴν τοῦ θεάτρου σκηνὴν εἰσελθόντων ἥκει κῆρυξ, ὃς ἑκάστους προτρέπει τὴν ἑαυτῶν γνώμην ἀποφαίνεσθαι. Ἀμφίθεος δὲ, ὅτι σπονδὰς πρὸς Λακεδαιμονίους ποιεῖσθαι ἐπειγόμενος ἐκ τῆς βουλῆς ἐκβάλλεται. τοῦ Δικαιοπόλιδος ἐναντιουμένου, καὶ μάτην ἀντιλέγοντος.

Κη. Πάριτ᾽ εἰς τὸ πρόσθεν,
Πάριθ᾽ ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.
Αμ. Ἤδη τίς εἶπε; Κη. τίς ἀγορεύειν βούλεται;
Αμ. Ἐγώ. Κη. τίς ὤν; Αμ. Ἀμφίθεος. Κη. οὐκ ἄνθρωπος; Αμ. οὔκ.
Ἀλλ᾽ ἀθάνατος. ὁ γὰρ Ἀμφίθεος Δήμητρος ἦν
Καὶ Τριπτολέμου, τούτου δὲ Κελεὸς γίνεται.
Γαμεῖ δὲ Κελεὸς Φαιναρέτην τήθην ἐμήν.
Ἐξ ἧς Λυκῖνος ἐγένετ᾽, ἐκ τούτου δ᾽ ἐγώ,
Ἀθάνατός εἰμ᾽, ἐμοὶ δ᾽ ἐπέτρεψαν οἱ θεοὶ,

## ACTVS I. SCENA II.

Præco, Amphitheus, Dicæopolis, Legati.

*Senarij.*

PR. *Procedite vlterius:*
*Procedite: vt intra lustratum sitis locum.*
AM. *Quis iam dixit?* PR. *quis vult verba facere in foro?*
AM. *Ego volo.* PR. *tu quis es?* AM. *Amphitheus.* PR. *non tu homo es?*
AM. *Non: sed Deus. quoniam Amphitheus Cereris fuit*
*Et Triptolemi filius: ex hoc pronatus est*
*Celeus, is Phanaretam duxit auiam meam:*
*Ex hac Lycinus prodiit: ex quo ortus sum ego.*
*Deus sum, nam Dî mandârunt hoc mihi:*

Σπονδὰς